# ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ

## ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ[1].

ᾱ 1 [a]ΒΙΒΛΟΣ γενέσεως ἸΗΣΟΥ Χριστοῦ, [b]υἱοῦ Δα-
γ 2 βὶδ[2], υἱοῦ Ἀβραάμ. [c]Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ·
Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε
3 τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. [d]Ἰούδας δὲ
ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ*·
Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ· Ἐσρὼμ[3] δὲ ἐγέννη-
4 σε τὸν Ἀράμ· [e]Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ·
Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών· Ναασσὼν
5 δὲ ἐγέννησε τὸν Σαλμών· [f]Σαλμὼν δὲ ἐγέννησε τὸν
Βοὸζ[4] ἐκ τῆς Ῥαχάβ· Βοὸζ[4] δὲ ἐγέννησε τὸν Ὠβὴδ[5]
6 ἐκ τῆς Ῥούθ· Ὠβὴδ[5] δὲ ἐγέννησε τὸν Ἰεσσαί· [g]Ἰεσ-
σαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ[2] τὸν βασιλέα. [h]Δαβὶδ[2] δὲ
ὁ βασιλεὺς[6] ἐγέννησε τὸν Σολομῶντα[7] ἐκ τῆς τοῦ
7 Οὐρίου· [ik]Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ· Ῥο-
βοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησε
8 τὸν Ἀσά· [l]Ἀσὰ[8] δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσα-
φὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησε
9 τὸν [m]Ὀζίαν[9]· Ὀζίας[10] δὲ ἐγέννησε τὸν Ἰωάθαμ· Ἰωά-
θαμ δὲ ἐγέννησε τὸν Ἄχαζ· Ἄχαζ[11] δὲ ἐγέννησε
10 τὸν Ἐζεκίαν[12]· [n]Ἐζεκίας[13] δὲ ἐγέννησε τὸν Μανασσῆ·
Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών· Ἀμὼν[14] δὲ ἐγέν-
11 νησε τὸν Ἰωσίαν[15]· [o]Ἰωσίας[16] δὲ ἐγέννησε τὸν
Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοι-
12 κεσίας Βαβυλῶνος. [p]Μετὰ δὲ τὴν μετοικεσίαν
Βαβυλῶνος, Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ· Σα-

[a] ver. 1—16, Luc. 3. 23—38.
[b] 2 Sam. 7. 12—16. Ps. 132. 11. Act. 13. 23. Rom. 1. 3. Rev. 22. 16.
[c] Gen. 21. 2; 25. 26; 29. 35.
[d] Gen. 38. 27, &c. 1 Chr. 2. 5, 9.
[e] Num. 7. 12. 1 Chr. 2. 10.
[f] Ruth 4. 17. 1 Chr. 2. 10, 11, 12.
[g] 1 Sam. 16. 1; 17. 12.
[h] 2 Sam. 12. 24.
[i] ver. 7—10, 1 Chr. 3. 10—14.
[k] 1 Reg. 11. 43; 14. 31; 15. 8. 2 Chr. 14. 1.
[l] 1 Reg. 15. 24. 2 Reg. 8. 16, 24. 2 Chr. 17. 1; 21. 1.
[m] 2 Reg. 15. 7, 38; 16. 20. 2 Chr. 26. 23; 27. 9; 28. 27.
[n] 2 Reg. 20. 21; 21. 18, 24. 2 Chr. 32. 33; 33. 20, 25.
[o] 2 Reg. 23. 30, 34; 24. 6. 2 Chr. 36. 1, 4, 8.
[p] 1 Chr. 3. 17, 19. Ezra 3. 2; 5. 2. Agg. 1. 1.

[1] Εὐαγγέλιον κατὰ Μαθθαῖον LTr. Κατὰ Μαθθαῖον TWH. — ἅγιον B. [2] Δαυεὶδ LTTrWH: Ἀβραὰμ *passim* S. [3] Ἑσρώμ· Ἑσρὼμ WH. [4] Βοὸς LTr, Βοὲς TWH. [5] Ἰωβὴδ LTTrWH. [6] — ὁ βασιλεὺς LTTrWHR. [7] Σολομῶνα TTrWH. [8] Ἀσάφ· Ἀσὰφ LTTrWHR. [9] Ὀζείαν LTTrWH. [10] Ὀζείας LTTrWH. [11] Ἄχας· Ἄχας WH. [12] Ἐζεκείαν L. [13] Ἐζεκείας L. [14] Ἀμώς· Ἀμὼς LTTrWHR. [15] Ἰωσείαν LTTrWH. [16] Ἰωσείας LTTrWH. * Θαμάρ Tr.

λαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ· Ζοροβάβελ 13
δὲ ἐγέννησε τὸν Ἀβιούδ· Ἀβιοὺδ δὲ ἐγέννησε τὸν
Ἐλιακείμ· Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ· Ἀζὼρ 14
δὲ ἐγέννησε τὸν Σαδώκ· Σαδὼκ δὲ ἐγέννησε τὸν
Ἀχείμ· Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ· Ἐλιοὺδ δὲ 15
ἐγέννησε τὸν Ἐλεάζαρ· Ἐλεάζαρ δὲ ἐγέννησε τὸν
**Ματθάν· Ματθὰν**[1] δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ 16 β̄
δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ι
ἐγεννήθη ἸΗΣΟΥΣ ὁ λεγόμενος Χριστός.

Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως **Δαβίδ**[2], 17
γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ **Δαβὶδ**[2] ἕως τῆς μετοι-
κεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ
τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ
δεκατέσσαρες.

[a] Luc. 1. 27, 34, 35.

[a]ΤΟΥ δὲ **Ἰησοῦ**[3] Χριστοῦ ἡ **γέννησις**[4] οὕτως ἦν. 18 γ̄
μνηστευθείσης **γὰρ**[5] τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ ε
Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ

[b] Deut. 24. 1

ἔχουσα ἐκ Πνεύματος Ἁγίου. [b]Ἰωσὴφ δὲ ὁ ἀνὴρ 19 δ̄
αὐτῆς, δίκαιος ὤν, καὶ μὴ θέλων αὐτὴν **παραδειγμα-** ι
**τίσαι**[6], ἐβουλήθη **λάθρα**[7] ἀπολῦσαι αὐτήν. ταῦτα 20
δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδού, ἄγγελος Κυρίου κατ'
ὄναρ ἐφάνη αὐτῷ, λέγων, "Ἰωσήφ, υἱὸς **Δαβίδ**[2], μὴ
φοβηθῇς παραλαβεῖν **Μαριὰμ**[8] τὴν γυναῖκά σου· τὸ
γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου.

[c] Luc. 1. 31; 2. 21. Act. 4. 12; 10. 43; 13. 38, 39.

[c]τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰη- 21
σοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν
ἁμαρτιῶν αὐτῶν." Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πλη- 22
ρωθῇ τὸ ῥηθὲν ὑπὸ **τοῦ**[9] Κυρίου διὰ τοῦ προφήτου,

[d] Esa. 7. 14.
[e] Esa. 8. 8.

λέγοντος, [d]'Ἰδού, ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέ- 23
ξεται υἱόν, καὶ **καλέσουσι**[10] τὸ ὄνομα αὐτοῦ [e]'Ἐμμα-
νουήλ,' ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ[11]
Θεός. **Διεγερθεὶς**[12] δὲ ὁ[13] Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου 24
ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου· καὶ

[1] Μαθθάν· Μαθθὰν LTTrWH. [2] Δαυεὶδ LTTrWH. [3] —Ἰησοῦ Tr[WH]R *marg.*, χριστοῦ Ἰησοῦ WH *marg.* [4] γένεσις LTTrWHR. [5] —γὰρ LTTrWHR. [6] δειγματίσαι LTTrWH. [7] λάθρᾳ LWH. [8] Μαρίαν WH (*non marg.*). [9] —τοῦ LTTrWH. [10] καλέσεις B. [11] —ὁ L. [12] ἐγερθεὶς LTTrWHR. [13] —ὁ T[WH].